partim ne confidant inter se ciues, partim vt potentia eis desit, partim vt pusillanimi efficiantur. Vnus ergo modus, quo vtuntur tyranni, talis est. Alter verò modus, contrariam istis quæ dicta sunt, diligentiam facit. Est autem deprehẽdere ipsum ex regnorum corruptione. vt enim regi modus corruptionis vnus est, gubernationem ipsam regiam magis reducere ad tyrannicam: ita tyrannidis conseruatio est, ad regiam gubernationem magis eam referre, vnum solummodo custodiẽtem, vt potentiam retineat, per quam non modò volentibus, verumetiam nolentibus dominari possit. nam si hanc abiiciat, simul abiicit & tyrannum esse. Sed hoc tanquam suppositionem quandam manere oportet: cætera verò partim facere, partim quàm optimè simulare, vt regia gubernatio videatur. Primum enim videri communium commodorum curam habere, non effundentem largitiones tantas, vt ciues molestè ferant: quandoquidem ab illis capit operantibus ac laborantibus in sua tenuitate, donat verò scortis, & peregrinis, & histrionibus effusè: rationẽ reddentem eorum quæ acceperit & expenderit, quod iam factum est à quibusdam tyrannis. sic enim administrans, non tyrannus videbitur, sed legitimus gubernator. nec erit ei formidandum, ne quandoque sibi desint pecuniæ, cùm sit dominus ciuitatis, sed dispergentibus tyrannis ex propria domo. Et prodest hoc magis, quàm relinquere congregatas. minus enim custodes ipsi contra tyrannum ob res insurgent. Sunt autem formidabiliores absentibus tyrannis, qui custodiunt, quàm ciues. nam illi quidem vnà absunt, hi autem remanent. Deinde reditus & impensas apparare oportet, tum gratia diligentis administrationis, tum etiam, vt si quando foret opus illis vti possit ad belli necessitates, omninóque seipsum præbere custodem & quæstorem, non vt suarum pecuniarum, sed vt communium & publicarũ. Et videri velle non asperum, sed cum grauitate honestum, & talem, vt eum non timeant obuij, sed magis reuereantur, hoc autem non facilè eum assequi, qui foret contemnendus. Quapropter opus est, vt si non aliarum virtutum, at saltem ciuilis eum curam habere, ac talem de seipso opinionẽ afferre. Insuper nõ solũ ipsum videri nulli protinus ciuiũ cõtumeliã facere, sed etiã nemini illorũ qui circa eũ sũt.

A τὰ μὲν, ὅπως μὴ πιστεύωσιν ἀλλήλοις· τὰ δ᾽, ὅπως μὴ δύνωνται. τὰ δ᾽, ὅπως μικρὸν φρονῶσιν. ὁ μὲν οὖν εἷς τρόπος δι᾽ οὗ γίνεται σωτηρία ταῖς τυραννίσι, τοιοῦτός ἐστιν· ὁ δ᾽ ἕτερος, σχεδὸν ἐξ ἐναντίας ἔχει τοῖς εἰρημένοις τὴν ἐπιμέλειαν. ἔστι δὲ λαβεῖν αὐτὸν ἐκ τῆς φθορᾶς τῆς τῶν βασιλειῶν. ὥσπερ γὰρ τῆς βασιλείας εἷς τρόπος τῆς φθορᾶς τὸ ποιεῖν
B τὴν ἀρχὴν τυραννικωτέραν, οὕτω τῆς τυραννίδος σωτηρία, ποιεῖν αὐτὴν βασιλικωτέραν, ἓν φυλάττοντα μόνον, τὴν δύναμιν· ὅπως ἄρχῃ μὴ μόνον βουλομένων, ἀλλὰ καὶ μὴ βουλομένων· προϊέμενος γὰρ καὶ τοῦτο, προΐεται καὶ τὸ τυραννεῖν. ἀλλὰ τοῦτο μὲν, ὥσπερ ὑπόθεσιν, δεῖ μένειν· τὰ δ᾽ ἄλλα, τὰ μὲν ποιεῖν, τὰ δὲ δοκεῖν, ὑποκρινόμενον τὸ
C βασιλικὸν καλῶς. πρῶτον μὲν, δοκεῖν φροντίζειν τῶν κοινῶν· μήτε δαπανῶντα δωρεὰς τοιαύτας, ἐφ᾽ αἷς τὰ πλήθη χαλεπαίνουσιν, ὅταν ἀπ᾽ αὐτῶν μὲν λαμβάνωσιν ἐργαζομένων καὶ πονούντων γλίσχρως, διδῶσι δ᾽ ἑταίραις καὶ ξένοις καὶ τεχνίταις ἀφθόνως· λόγον τε ἀποδιδόντα τῶν λαμβανομένων καὶ δαπανωμένων· ὅπερ ἤδη πεποιήκασί τινες τῶν τυράννων· οὕτω γὰρ ἄν τις διοικῶν, οἰκο-
D νόμος, ἀλλ᾽ οὐ τύραννος εἶναι δόξει· οὐ δεῖ δὲ φοβεῖσθαι μή ποτε ἀπορήσῃ χρημάτων, κύριος ὢν τῆς πόλεως· ἀλλὰ τοῖς γ᾽ ἐκτοπίζουσι τυράννοις ἀπὸ τῆς οἰκίας, καὶ συμφέροι τοῦτο μᾶλλον, ἢ καταλιπεῖν ἀθροίσαντας· ἧττον γὰρ ἂν οἱ φυλάττοντες ἐπιτίθεντο τοῖς πράγμασιν. εἰσὶ δὲ φοβερώτεροι τῶν τυράννων τοῖς ἀποδημοῦσιν οἱ φυλάττοντες, τῶν
E πολιτῶν· οἱ μὲν γὰρ, συναποδημοῦσιν· οἱ δὲ, ὑπομένουσιν. ἔπειτα τὰς εἰσφορὰς καὶ τὰς λειτουργίας δεῖ φαίνεσθαι τῆς τε οἰκονομίας ἕνεκα συνάγοντα· κἄν ποτε δεηθῇ, χρῆσθαι πρὸς τοὺς πολεμικοὺς καιρούς. ὅλως τε αὑτὸν παρασκευάζειν φύλακα καὶ ταμίαν ὡς κοινῶν, ἀλλὰ μὴ ὡς ἰδίων. καὶ φαίνεσθαι μὴ χαλεπὸν, ἀλλὰ σεμνόν. ἔτι δὲ τοιοῦτον, ὥστε μὴ φοβεῖσθαι τοὺς ἐντυγχάνοντας, ἀλλὰ μᾶλ-
F λον αἰδεῖσθαι. τούτου μέντοι τυγχάνειν οὐ ῥᾴδιον, ὄντα εὐκαταφρόνητον. διὸ δεῖ κἂν μὴ τῶν ἄλλων ἀρετῶν ἐπιμέλειαν ποιῆται, ἀλλὰ τῆς πολιτικῆς, καὶ δόξαν ἐμποιεῖν περὶ αὑτοῦ τοιαύτην. ἔτι δὲ μὴ μόνον αὐτὸν φαίνεσθαι μηδένα τῶν ἀρχομένων ὑβρίζοντα, μήτε νέον, μήτε νέαν, ἀλλὰ μηδ᾽ ἄλλον μηδένα τῶν περὶ αὐτόν.

ὁμοίως